ἠκούσαμεν συνέβη, καὶ πάλιν ἡνίκ' εἰς Μαραθῶνα τριήρεις αἱ λῃστρίδες προσέσχον.

3 Ὡς γὰρ ἂν χρήσαιτό τις, ὦ ἄνδρες Ἀθηναῖοι, καλῶς δυνάμει παρεσκευασμένῃ, οὕτως ὑμεῖς εἰώθατε τῷ βουλεύεσθαι χρῆσθαι, ὀξέως. Δεῖ δὲ βουλεύεσθαι μὲν ἐφ' ἡσυχίας, ποιεῖν δὲ τὰ δόξαντα μετὰ σπουδῆς, καὶ λογίσασθαι τοῦθ' ὅτι εἰ μὴ καὶ τροφὴν ἱκανὴν ποριεῖτε καὶ στρατηγόν τινα τοῦ πολέμου νοῦν ἔχοντα προστήσεσθε καὶ μένειν ἐπὶ τῶν οὕτω δοξάντων ἐθελήσετε, ψηφίσμαθ' ὑμῖν περιέσται, καὶ παραναλώσετε μὲν πάνθ' ὅσ' ἂν δαπανήσητε, βελτίω δ' οὐδ' ὁτιοῦν τὰ πράγματ' ἔσται, κρινεῖτε δ' ὃν ἂν βούλησθ' ὀργισθέντες. Ἐγὼ δὲ βούλομαι τοὺς ἐχθροὺς ὑμᾶς ἀμυνομένους ὀφθῆναι πρότερον ἢ τοὺς πολίτας κρίνοντας· οὐ γὰρ ἡμῖν αὐτοῖς πολεμεῖν μᾶλλον ἢ 'κείνοις ἐσμὲν δίκαιοι.
4 Ἵν' οὖν μή, τὸ ῥᾷστον ἁπάντων, ἐπιτιμήσω μόνον, ὃν τρόπον ἄν μοι δοκεῖτε ταῦτα ποιῆσαι διδάξω, δεηθεὶς ὑμῶν μὴ θορυβῆσαι μηδ' ἀναβάλλειν νομίσαι με καὶ χρόνον ἐμποιεῖν· οὐ γὰρ οἱ « ταχύ » καὶ « τήμερον » εἰπόντες μάλιστ' εἰς τὸ δέον λέγουσιν (οὐ γὰρ ἂν τά γ' ἤδη γεγενημένα κωλῦσαι δυνηθείημεν τῇ βοηθείᾳ), ἀλλ' ὃς ἂν δείξῃ τίς πορισθεῖσα παρασκευὴ διαμεῖναι δυνήσεται, τέως ἂν ἢ περιγενώμεθα τῶν | ἐχθρῶν ἢ πεισθέντες διαλυσώμεθα τὸν πόλεμον· οὕτω γὰρ οὐκέτι τοῦ λοιποῦ πάσχοιμεν ἂν κακῶς.